κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπε-
80 ποιημένης ἐν ἐλαίῳ, εἰς θυσίαν· [80]θυίσκην μίαν δέκα χρυσῶν πλή-
81 ρη θυμιάματος· [81]μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύ-
82 σιον εἰς ὁλοκαύτωμα· [82]καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·
83 [83]καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους
πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Αχιρε υἱοῦ Αιναν.
84 [84]Οὗτος ὁ ἐγκαινισμὸς τοῦ θυσιαστηρίου, ᾗ ἡμέρᾳ ἔχρισεν αὐτό,
παρὰ τῶν ἀρχόντων τῶν υἱῶν Ισραηλ· τρυβλία ἀργυρᾶ δώδεκα,
85 φιάλαι ἀργυραῖ δώδεκα, θυίσκαι χρυσαῖ δώδεκα, [85]τριάκοντα καὶ
ἑκατὸν σίκλων τὸ τρυβλίον τὸ ἓν καὶ ἑβδομήκοντα σίκλων ἡ φιά-
λη ἡ μία, πᾶν τὸ ἀργύριον τῶν σκευῶν δισχίλιοι καὶ τετρακόσιοι
86 σίκλοι ἐν τῷ σίκλῳ τῷ ἁγίῳ. [86]θυίσκαι χρυσαῖ δώδεκα πλήρεις
θυμιάματος· πᾶν τὸ χρυσίον τῶν θυισκῶν εἴκοσι καὶ ἑκατὸν χρυ-
87 σοῖ. [87]πᾶσαι αἱ βόες εἰς ὁλοκαύτωσιν μόσχοι δώδεκα, κριοὶ δώ-
δεκα, ἀμνοὶ ἐνιαύσιοι δώδεκα καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπον-
88 δαὶ αὐτῶν· καὶ χίμαροι ἐξ αἰγῶν δώδεκα περὶ ἁμαρτίας. [88]πᾶσαι
αἱ βόες εἰς θυσίαν σωτηρίου δαμάλεις εἴκοσι τέσσαρες, κριοὶ ἑξή-
κοντα, τράγοι ἑξήκοντα, ἀμνάδες ἑξήκοντα ἐνιαύσιαι ἄμωμοι. αὕτη
ἡ ἐγκαίνωσις τοῦ θυσιαστηρίου μετὰ τὸ πληρῶσαι τὰς χεῖρας αὐ-
89 τοῦ καὶ μετὰ τὸ χρῖσαι αὐτόν. — [89]ἐν τῷ εἰσπορεύεσθαι Μωυσῆν
εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου λαλῆσαι αὐτῷ καὶ ἤκουσεν τὴν
φωνὴν κυρίου λαλοῦντος πρὸς αὐτὸν ἄνωθεν τοῦ ἱλαστηρίου, ὅ
ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, ἀνὰ μέσον τῶν δύο χερου-
βιμ· καὶ ἐλάλει πρὸς αὐτόν.
8 [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Λάλησον τῷ Ααρων
καὶ ἐρεῖς πρὸς αὐτόν Ὅταν ἐπιτιθῇς τοὺς λύχνους, ἐκ μέρους κατὰ
3 πρόσωπον τῆς λυχνίας φωτιοῦσιν οἱ ἑπτὰ λύχνοι. [3]καὶ ἐποίησεν
οὕτως Ααρων· ἐκ τοῦ ἑνὸς μέρους κατὰ πρόσωπον τῆς λυχνίας
ἐξῆψεν τοὺς λύχνους αὐτῆς, καθὰ συνέταξεν κύριος τῷ Μωυσῇ.
4 [4]καὶ αὕτη ἡ κατασκευὴ τῆς λυχνίας· στερεὰ χρυσῆ, ὁ καυλὸς αὐ-
τῆς καὶ τὰ κρίνα αὐτῆς, στερεὰ ὅλη· κατὰ τὸ εἶδος, ὃ ἔδειξεν κύ-
ριος τῷ Μωυσῇ, οὕτως ἐποίησεν τὴν λυχνίαν.
5 6 [5]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [6]Λαβὲ τοὺς Λευί-
7 τας ἐκ μέσου υἱῶν Ισραηλ καὶ ἀφαγνιεῖς αὐτούς. [7]καὶ οὕτως ποιή-
σεις αὐτοῖς τὸν ἁγνισμὸν αὐτῶν· περιρρανεῖς αὐτοὺς ὕδωρ ἁγνι-
σμοῦ, καὶ ἐπελεύσεται ξυρὸν ἐπὶ πᾶν τὸ σῶμα αὐτῶν, καὶ πλυ-

84 των $1^{0} \frown 2^{0}$ B*† || 85 η $2^{0}$ > B*† | των αγιων B† || 86 θυμιαμ.] + φιαλαι αργυραι δωδεκα η θυισκη εν τω σικλω των αγιων A(†) || 87 εις] pr. αι B† | και $1^{0}$ > A$B^{c}$ || 88 κριοι] pr. και B*† | τραγοι .. αμναδες] tr. B† | εγκαινισις A

8 4 αυτης $1^{0}$ > A† || 6 υιων] pr. των A || 7 αυτοις > A† | αγνιαομον A† (αγιασμ. alii) | παν > A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/280 UNIVERSITÄT LEIPZIG